# The Nicene-Constantinopolitan Creed

## Τὸ Σύμβολο της Πίστεως

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, Ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων·

Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱόν του Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· Φῶς ἐκ Φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο·

Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα·

Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα·

Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς·

Καὶ ἀνελθόντα εἰς τοὺς Οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός·

Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ της βασιλείας οὐκ ἔσται τέλος·

Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ Ζωοποιόν, τὸ ἐκ του Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διά τῶν προφητῶν·

Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν·

Ὁμολογῶ ἕν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν·

Προσδοκῶ ἀνάστασιν νεκρῶν·

Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

## The Symbol of the Faith

I believe in one God: the Father Almighty, Maker of heaven and earth, and of all things visible and invisible;

And in one Lord, Jesus Christ, the Son of God, the only-begotten, begotten of the Father before all ages: Light of Light, true God of true God; begotten, not made, of one essence with the Father, through Whom all things were made;

Who for us men and for our salvation came down from heaven, and was incarnate by the Holy Spirit and the Virgin Mary, and became man;

And He was crucified for us under Pontius Pilate, and suffered and was buried;

And the third day He rose according to the Scriptures,

And ascended into heaven, and sits at the right hand of the Father;

And He shall come again with glory to judge the living and the dead; Whose Kingdom shall have no end;

And in the Holy Spirit, the Lord, the Giver of life, Who proceeds from the Father; Who with the Father and the Son is worshipped and glorified; Who spoke through the prophets.

In one, holy, catholic, and apostolic Church.

I acknowledge one baptism for the remission of sins.

I look for the resurrection of the dead,

And the life of the world to come. Amen.